Be. IV. 106. XXXV. 2 2

3

# ΠΕΡΙ ΤΗΣ ΑΓΑΠΗΣ ΤΟΥ ΘΕΟΥ ΕΙΣ ΑΝΘΡΩ-ΠΟΥΣ ΑΠΑΝΤΑΣ, ΚΑΙ ΑΜΑ ΤΩ ΣΥΓ-

χάρματι περὶ τῆς Αλτορφήνης εὐδαιμονίας ὁ λόγος;

## SIVE DE DEI IN OMNES HOMI-nes amore & simul de felicitatis Altorphinæ congratulatione

Declamatiuncula animi gratiâ concinnata

&

*In inclyta Noricorum Universitatê publicè recitata*

à

M. JOHANNE Schuster PARCHIMEN-si Megapolitano.

*Anno salutis nostræ*

FerDInanDVs seCVnDVs Is Ipse tereget Verbo.

Ad Bibl. Acad. Land.

1623.

ALTORPHI,

*E Typographiâ Balthasaris Scherffii, Academiæ Typographi.*

1623

VIRIS

*Reverendis, Clarissimis, pietate, doctrina, ac eruditione insigni, nec minori authoritate, variarumq́; genere virtutum conspicuis Theologis,*

Dn. M. PAULO PIGGELIO,
Ecclesiæ ad D. Laurentii,
Dn. M. JOHANNI WEBERO,
Ecclesiæ ad D. Ægidii.
Dn. M. JOHANNI SAUBERTO,
Ecclesiæ ad D. Mariæ,
Dn. M. GEORGIO KOLBIO,
Ecclesiæ Werthensis.

*Pastoribus vigilantissimis ac dignissimis,*

Dn. M. JOHANNI Wildt/
ad D. Sebald. Diacono meritissimo.

*UT ET*

*Clarissimis, excellentissimis, ac integerrimis*

Dn. ANDREÆ DAUCHERO, D. J. U.
Dn. JOHANNI SIDLMAN,
Mercatori primario laudatissimoq́;.

*Dominis Patronis, Fautoribus, & benefactoribus flagrantissimo animi affectu & summæ semper Reverentiæ cultu prosequendis,*

Hoc publicum exercitium Declamatiunculæ in gratitudinis σημεῖον & debiti affectus arrham humillimè

offert & dedicat,

M. Johannes Schuster.

Univ. Bibl. München

# ΤΟ ΠΡΟΟΙΜΙΟΝ.

Ὅσα καθ' ἕκαστα τις λέγουσι φοβερὰ εἶναι εἴωθεν, ὦ μεγαλοπρεπὲς προεστάτα, ἐπιφανέστατοι, καὶ παιδευτότατοι ἀκροαταὶ, ταῦτα ἐν τῇ παρούσῃ ἡμέρᾳ συμβαίνει ἐμοὶ ἅπαντα. Ὅταν γὰρ ἐν τούτῳ τῷ λυκείῳ εὐκλεεστάτῳ καὶ οὕτως εὐδοκίμῳ πανηγύρει ἐνδοξοτάτων, εὐγενεστάτων ἀνθρώπων, καὶ τῶν περὶ τὴν φιλοσοφίαν ὄντων, ἀναγκαῖόν ἐστι λέγειν, οὐδεὶς ἔσται, ὅστις κοῦφον τοῦτο ἡγεῖται. πιστεύω γὰρ, μηδὲν παντάπασι χωρίον τοῦ κόσμου εἶναι, παρ' ᾧ τούτου τοῦ λυκείου τὸ ὄνομα, καὶ τῶν τέχνων ἡ ἐμπειρία ἐς ὅτι μάλιστα μὴ εὐδοκιμεῖ. Φέγγεται γὰρ διὰ τὸ φέγγος τῆς θεογνωσίας; Φέγγεται διὰ τὸ φῶς τῆς πολιτείας τῶν ΝΟΡΙκῶν; ἐπιφανές ἐστι ἄλλως τε διὰ τὰ φῶτα ἐνδοξοτάτων ἀνδρῶν, πῇ μὲν ἐν τῷ παρεληλυθότι χρόνῳ τελευτησάντων, ὧν παρὰ πᾶσι τοῖς σωφρονοῦσιν ἀείμνηστος ἔσται ἡ ἀρετὴ, πῇ δὲ ἔτι καὶ νῦν ζώντων οἵτινες τὴν τῆς εὐσεβείας διάγνωσιν καὶ τῆς δίκης εὔκλειαν, καὶ τελευταῖον, τὴν τῆς ἀληθείας πηγὴν ἀπὸ τῆς ψευδολογίας τοῖς νεωτέροις ἐξηγοῦνται. Τις οὖν τὸ φοβερὸν διαφεύγειν, ἢ κατὰ τρόπον διοικεῖν δύναται?

Ὁρῶμεν γὰρ τὴν παρουσίαν ἀνδρὸς τινὸς προέχοντος κἂν γεγυμνασμένους περὶ τὸ λέγειν ἐκφοβοῦσαν, καὶ τοῦ λόγου ἀπέχεσθαι, ἀναγκάζουσαν. Τί δὲ οὖν κἀμοὶ συμβαίνῃ ἄν τῷ ἐν τοῖς τῶν λόγων ἐπιτηδεύμασι ἥκιστα ἐφαμίλλῳ αὐτοῖς ὄντι, οὐδὲ τοιαύτην λογιότητα, ὥσπερ ἐκ ταμείου προφέρειν δυναμένῳ. ἐπὶ οὖν λόγους ἐνθάδε ποιησόμενος, εἰς ὑμᾶς, ὦ πατέρες καὶ ἀκροαταὶ ἐπιβλέπω, οὐχ ἕνα μόνον αἰδέσιμον ἄνδρα, καὶ νεανίαν ἔνδοξον θεωρῶ: ἀλλὰ πρὸς τοσοῦτα φῶτα, καὶ τοσούτους περὶ τὴν φιλοσοφίαν καὶ πᾶν γένος τῶν ἐλευθερίων τέχνων σπουδάζοντας ἀποβλέπω. Ποῦ καταφεύγω? μὴ πρὸς τὴν ὀξότητα ὑμῶν, δι' ἣν τοῖς διαφερόντων ἀσκηθεῖσιν, οὐδὲν περὶ τῆς ὀξύτητος συγγινώσκετε, ἀλλὰ πρὸς τὴν πατρῷον ἀγά-

πησιν καὶ φιλανθρωπίαν ὑμετέραν, δι' ἣν τὸ ὀλίγον ἠσκημένοις καὶ ἐπιστήμην θηρεύουσι, συγγινώσκειν, καὶ ἐκείνων πόνων, κἂν ὀλίγων ὀρεχομένους δοκιμάζειν εἰώθατε. Ενθεν καὶ οὐ μόνον πρὸς τὴν σπουδὴν πολλὴν, καὶ παντοδαπὴν αὐτοὺς παρακαλεῖτε, ἀλλὰ καὶ διὰ τῆς σπουδῆς καὶ φιλανθρωπίας ὑμετέρας παροξύνειν φιλοπονεῖτε. ὅπερ καθ' ἑκάστην ἡμέραν ἐστὶ φανερόν. Πρὸς ὃ δεῖ καὶ μὲ τὸν βίον οἰκονομεῖν, καὶ τῆς σπουδῆς αὐτῶν ἐπιθυμεῖν, καὶ ὥσπερ πρὸς παράδειγμα μειλιχοτάτου τοῦ ξενοφῶντος τῆς ἀρετῆς αὐτοῦ μιμητὴν καὶ ζηλωτὴν γενέσθαι. Εκ πρώτης μὲν γὰρ ἡλικίας μὴ μόνον οἴκοι, ἀλλὰ καὶ ἀλλαχοῦ ἐμὲ πρὸς τὸν λόγον, καὶ τέχνην, καὶ τὰ παραδείγματα οἱ παιδευταὶ μου φίλτατοι ἐπετήδευσαν, ἃ τῆς μελέτης φυλάττειν, καὶ τὴν τοῦ ἑλληνίζειν κρείττην θεραπεύειν ἐνεστησάμην.

Αλλ' οὐκ οἶδα, ποία τις εἱμαρμένη, μᾶλλόν δε ἀτυχία ἐμὲ κατέχηκα ἐν μέσῳ τῆς σπουδῆς μου δρόμῳ, λέξω ἀποτόμως, μὴ τὰς ἄλλας αἰτίας λέγων, ἡ στενοχωρία τῆς ὑπαρχούσης οὐσίας καὶ ἀφιλία, ὥσπερ ἐν τῷ παρόντι φαυλοτάτῳ καιρῷ πολλοῖς, οὕτω κἀμοὶ ἐμποδὸν ἐγένετο. Αλλ' ὁ θεὸς ἡμῶν, ὁ πάντα κατὰ τὰ σπλάγχνα τοῦ μεγίστου, καὶ θαυμαστοῦ ἐλέους αὐτοῦ οἰκονομῶν, περὶ ἐμοῦ τοῦ βίου καὶ ἐπιτηδευμάτων ἐπεμελήσατο, τῷ τοὺς ἀνθρώπους ἀγαπᾶν καὶ πρὸς πεπαιδευμένους ἄνδρας μὲ προήγαγε. Διόπερ ἐγὼ ὅπως τῷ θεῷ καὶ βοηθοῖς μου χάριν σχοίην, περὶ τῆς ἀγάπης τοῦ θεοῦ, ἐν ταύτῃ τῇ ὥρᾳ, τοῖς διδασκάλοις ὑπακούων, διαλέγεσθαι ὑμῖν πειράσομαι. Αλλὰ μὴν καίπερ μεγάλης καὶ δυσχεροῦς οὔσης τῆς προθέσεως ταύτης, πάντα γὰρ τὰ ἐκτὸς τοῦ θεοῦ συλλαμβάνει ἔργα, ὅμως κατὰ τὸ δύνατον καὶ τὴν ἀφέλειαν τῆς φύσεως ἐμῆς τῷ πόνῳ τούτῳ ἐπεχείρησα. ὑμᾶς δὲ, ὦ βέλτιστοι ἀκροαταὶ, ἵνα ἐμοῦ, περὶ τῆς τοῦ θεοῦ ἀγάπης πρὸς ὑμᾶς διαλεγομένου, εὐμενῶς καὶ προσεχῶς ἀκροᾶτε, ἐς ὅτι μάλιστα ἀξιῶ.

## Η ΑΓΑΠΗ ΤΟΥ ΘΕΟΥ.

Εν τοῖς ἁγίοις βίβλοις, μεγαλοπρεπὲς προστάται, εὐδοκιμώτατοι, καὶ εὐγενέστατοι ἀκροαταὶ, ἀναγινώσκομεν, τὸν δυνατώτατον τὸν (ἐν δευτέρᾳ μοναρχίᾳ) Ἀάσφηρον τὸν εἴκοσι ἑπτὰ χωρῶν βασιλεύσαντα λαμπρὸν συμπόσιον τοῖς ἀνδράσι πρωτεύουσι, καὶ ἀρίστοις κατασκευᾶσαι;

σαι; ἕνεκα τοῦ αὐτοῦ μεγαλοπρέπειαν καὶ ἀγάπην αὐτοῖς ἐπιδεικνύειν
καὶ δηλοῦν. Ὅσον δὲ καὶ πηλίκον ἐγένετο συμπόσιον τοῦτο, ὑμεῖς αὐτοὶ
ἀναγινώσκετε. Ἀλλ' ὁ Θεὸς πολὺ Δυνατώτερος καὶ μάλιστα παν-
τοκράτωρ, ὁ τῷ βασιλεῖ τῶν Μηδίων τὴν ῥώμην καὶ δυναστείαν, καὶ
εὐκλείαν ἐγχειρήσας; οὕτως λέγων: ἐγώ εἰμι ὁ ὤν. αὐτὸς ἐστὶ ἁπλοῦς
ἁπλούστατος οὐσιωδῶς καὶ ἐνεργητικῶς κατ' ἔσω, καὶ κατ' ἔξω,
πάσης τῆς συντάξεως, παντὸς τοῦ πολλαπλασιασμοῦ, πάσης δια-
νομῆς, καὶ ἀναδασμοῦ ἄμοιρος. Ἐστὶ γὰρ αὐτοούσιος, καὶ ὑπερούσιος.
Τίς δὲ ἁπάντων τῶν ἀνθρώπων τὴν τοῦ Θεοῦ οὐσίαν συλλαμβάνειν ἂν *Isocrates*
δύναιτο! ἐπεὶ τίς τῶν ἑλλήνων σοφῶν λέγει; μηδέποτε δεῖ θνητὸν ὄντα *ad Dem.*
τῆς τῶν Θεῶν διανοίας στοχάσασθαι, πόσῳ ἧττον, τὴν τοῦ Θεοῦ οὐσίαν.
Ἀλλὰ τὴν μεγαλοπρέπειαν, καὶ εὔνοιαν βεβαιοτάτην ἐκ τῆς ἀγάπης
αὐτοῦ διαγινώσκομεν. Εἰ μὲν γὰρ πάντας τοὺς ἀνθρώπους ἁγίους
ἐξετάζωμεν, τὸ ἀλάλητον τοῦ Θεοῦ ἀγάπημα ἡμᾶς διδάξουσι. ὦ τὸ
βάθος τοῦ πλούτου καὶ σοφίας καὶ γνώσεως αὐτοῦ ὡς ἀνεξερεύνητα τὰ *Rom. 11.*
κρίματα, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. *v. 33.*

Ἀλλ' ὅπως πρὸς ἵνα τῆς θείας ἀγαπήσεως ἔρχεσθαι δυνώμε-
θα γνῶσιν, ἀπόστολος ὁ Παῦλος ἡμᾶς ἐπιχείρει λέγων: ἵνα *Ephes. 3.*
ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, *v. 18.*
καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος γνῶναι τε τὴν ὑπερβάλ-
λουσαν τῆς γνώσεως ἀγάπην τοῦ χριστοῦ. Τὸ δὲ πλάτος τοῦ ἀγα-
πήματος ἐστὶ, ὅταν ὁ Θεὸς πάντας ἀνθρώπους πλατέως στέργῃ,
καὶ τοῦτο γίνεται τῷ κτίζειν. Εἰς τὸ ἔργον οὖν τῆς κτίσεως ἀποβλέ-
ποντες, τὴν ἀγάπησιν τοῦ θεοῦ πολυποίκιλον εὑρίσκομεν, καὶ τοῦτο ἔρ-
γον αὐτοῦ εἰκότως θαυμάζομεν. Ὁ θεὸς γὰρ ἐπ' ἀρχῇ ἔκτισε πάν- *Genes. 1.*
τα θαυμαστὰ, τὴν γῆν, τὸ ὕδωρ, τὸν ἀέρα, τὰ σώματα οὐράνια, καὶ *Col. 1. v. 16.*
τὰ ἀόρατα, εἴτε θρόνους, εἴτε κυριότητας, εἴτε τὰς ἀρχὰς, εἴτε
ἐξουσίας: Τελευταῖον ἐπὶ τῇ ἕκτῃ ἡμέρᾳ αὐτὸν τὸν ἄνθρωπον τὸν ἄρ- *Gen. 27. v. 1*
σενα καὶ τὴν γυναῖκα, μηδαμῶς ζῶα ἄλογα, οὔτε τοῖς ὀρνέοις, οὔτε
προβάτοις, μύσχοις, ἵπποις &c. προσήκοντας, ἀλλὰ πρὸς τὴν ἑαυ-
τοῦ εἰκόνα ἔκτισε. Τὸ μὲν ἀγάπημα τοῦ θεοῦ ἐκ φανερᾶς κτίσεως με-

γάλην τὴν διάγνωσιν ἔχει. Δι᾽ ὅλον γὰρ κόσμον φαίνει καὶ φέγ-
γεται, καὶ ἐκ κόσμου καὶ τῆς κτίσεως ἡ ἀγάπη θεοῦ πνεῖ.

Ἡμᾶς οὖν ἔκτισε, ἵνα αὐτοῦ ἡ εἰκὼν ἐν ἡμῖν πνέοι καὶ διαφαίνοι.
μηδέποτε γὰρ ἡμᾶς τὴν αὐτὴν εἰκόνα ἐποίησεν, ἀλλὰ πρὸς τὸ εἴκα-
σμα αὐτοῦ ὑμᾶς ἤπεικασεν. Αὐτὸ γέγονεν ἡ δικαιοσύνη, καὶ ὁσιότης τῆς
ἀληθείας: ὥσπερ πρώτην τὴν θηλείαν ἄνθρωπον τὴν Εὔαν ἐκ τῆς
τοῦ Ἀδάμου πλευρᾶς ὁ θεὸς ἐμόρφωσε. καὶ πρὸς τούτοις αὐτὴ ἡ εἰ-
κὼν γέγονεν ἐν ἀνωτάτῃ τελειότητι τῆς ψυχῆς, καὶ τοῦ σώματος: ἐν
τῇ τῶν δυνάμεων ἀδιαφθαρσίᾳ, ἁγνείᾳ καὶ σὺν τῷ νόμῳ θεϊκῷ ὁμο-
λογίᾳ. Αὐτὸ οὖν τὸ εἴκασμα μὴ γέγονεν οὐσία τοῦ θεοῦ. ὢ ὅση τοῦ θεοῦ
ἡ ἀγάπη! ὢ ἡ ἀγάπη τις ἄρρητον κτίσεως ἀνθρωπίνου τοῦ γένους. Δῆ-
λον ἐστι ἐκ τῆς καθ᾽ ἡμέραν ἐμπειρίας, ὅταν πολλοὶ συνέρχονται ἄν-
θρωποι, ὅτι μόλις δύο ἐν τῇ τοῦ ἀγάλματος σχηματοποιΐᾳ προσήκον-
τας εὑρίσκομεν; Ἀλλ᾽ ἡμεῖς πάντες ἄνθρωποι διὰ τοῦ Ἀδάμου κτί-
σεως πρὸς τὴν εἰκόνα τοῦ θεοῦ κεκτίσμεθα. Καὶ τοσοῦτο μὲν τοῦ θεοῦ τῆς
ἀγαπήσεως τὸ πλάτος. ἔπι καὶ τοὺς αὐτοὺς ἀνθρώπους εἰς ἑαυτοῦ τὴν
δόξαν ἐποίησε. εἶτα δὲ ὁ αὐτὸς ἡμᾶς ἀνατρέφει, φυλάττει, δια-
σώζει, καὶ πᾶσιν, αὐτῷ μάλιστα προσκυνοῦσι, βοηθεῖ.

Ἀλλὰ φεῦ τῆς ταλαιπωρίας σὺν τῶν πρωτοπλάστοις γονεῦσι ἡ-
μῶν ἐκ τοῦ θεοῦ λόγου ἐξεληλύθαμεν πάντες, τῶν λαφυραγωγοῖς τῶν δια-
βόλοις πλησιάζοντες, ἀπάλων τῶν σύμβασιν σὺν τῷ νόμῳ θεϊκῷ ἡμᾶς
Eph. 2. ἐσκύλευσαν. ἐντεῦθεν τῶν κτισμάτων ἁπάντων ἀθλιώτατοι ἐσμὲν γὰρ
v. 12. οὕτως χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξέ-
νοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κό-
σμῳ. διὰ τοῦτο οἱ κακοδαίμονες εἰς ἡμᾶς ἐξουσίαν μεγάλην καὶ ἀρ-
χὴν ἔχοντες, βασανίζουσιν ἡμᾶς τὴν ὠμότητα ἀσκοῦντες, τῷ κατη-
γορεῖν, τὰς καθ᾽ ἑκάστην ἡμέραν ἁμαρτίας τῷ συκοφαντεῖν, τῷ δια-
βάλλειν τοὺς ἁμαρτάνοντας. Ὑμεῖς ὦ κατηγόροι, καὶ καταδικα-
σθέντα, τῆς ὀργῆς, καὶ τῆς ὠμότητος παύεσθαι, ἐστὶν ἡμῖν παραμυθία-
τις, Ἐστὶν ἡ βοήθεια. πλείστην μὲν γὰρ παρακέλευσιν καὶ βοήθειαν
ἔχομεν, ὅταν τὴν ἀγάπην τοῦ θεοῦ ἐκ τῆς εὐνοίας πατρῴου τῆς κτίσεως
ἡμῶν ἀναμνησθῶμεν. Νῦν πρὸς αὐτὸν θαρσαλέως βαδίζειν, ἢ φόβου ἢ

τῆς φυγῆς

τῆς ψυχῆς λῆξιν, αὐτοὺς ἡμᾶς παρακαλῶ. Καὶ οὕτως γέγονε τὸ πλάτος.
Νῦν δὲ τὸ βάθος ἕπεται τοῦ ἀγαπήματος θεοῦ. ἐκεῖνος μὲν τὸν
κόσμον ἠγάπησεν, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε, μὴ τὸ τοῦ κόσ-
μου σύστημα στέργων, ἀλλ' ἐν ὅλῃ τῇ μηχανῇ τοὺς ἀνθρώπους τὸν βίον διει-
κοῦντας, τὰ παρόντα στέργοντας, καὶ τὰ βελτίω ζητοῦντας, βασιλεῖς
ἰσχυρωτάτους, καὶ ὑποτεταγμένους· τοὺς περὶ τὴν σοφίαν διατρίβοντας,
καὶ τοὺς ἀπαιδεύτους· τοὺς ἀστείους καὶ ἀγροίκους· τοὺς εὐγενεῖς καὶ δυσγε-
νεῖς ἠγάπησεν. Ὁ κατ' ἀλήθειαν φιλῶν, ἅπαντα περιφέρει καὶ τὰς
λύπας ὑπομένει, τὰς αὐτοῦ, ὃν ἀγαπᾷ: Ἔπειτα ὁ ἔρως ἄκακος
ἀνακαινίζεται, ὥσπερ τὰ παραδείγματα διδάσκουσι. Ἐκ τῆς δοκιμα-
σίας φανερὸν, ὅτι μηδὲν τῶν ἀνθρωπίνων βέβαιον, ἀλλὰ μόνη ἡ ἀγά-
πη τοῦ θεοῦ βέβαιον καὶ βεβαιότατόν ἐστι. Αὐτὸς γὰρ τοὺς θνητοὺς ἀγα-
πᾷ τοῦ ἰδίου υἱοῦ οὐ φειδόμενος, ἀθάνατος διὰ τὸν υἱὸν μονογενῆ τοὺς βρο-
τοὺς λυτρώσας. Εἰ δέ τι προσφιλὲς ὁ θεὸς ἐν οὐρανῷ, ἐπὶ τῆς γῆς, καὶ ἐν
τῇ καρδίᾳ ἂν ἔχῃ, τοῦτο διὰ τὴν ἀγάπην αὐτοῦ μεγάλην ἂν ἐκφέρῃ.
Ὁ δὲ θεὸς πλούσιος, ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπησιν αὐτοῦ, ἣν *Eph.2.v.4.*
ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἔτι νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε *5.6.7.*
τῷ χριστῷ ·/. χάριτί ἐστε σεσωσμένοι ·/. καὶ συνήγειρε καὶ συνεκάθι-
σεν ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι, τοῖς
ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρη-
στότητι ἐφ' ἡμᾶς ἐν χριστῷ Ἰησοῦ.

Ἀλλὰ τίς ταύτην ἀγάπην θηρεύει? τίς τοῦ δώρου τοῦ θεοῦ ἐπιθυμεῖ?
πάντες γὰρ αὐτοῦ ἐπιθυμεῖν, εἰκός. Τοῦτο δὲ τὸ δῶρον ἐστὶν τοῦ ὑψίστου αἰῶ-
νιος κυρίου τοῦ θεοῦ, καὶ παρθένου Μαριὰμ ὁ υἱός. Τὸ δῶρον ἡμέτερον
ἀληθὴς θεὸς καὶ ἀληθὴς ἄνθρωπος, εἷς χριστὸς, ἐν μίᾳ ὑποστάσει καὶ δυσὶ
φύσεσιν. εἴ τις εἰσάγῃ δύο υἱοὺς, ἕνα μὲν τὸν ἐκ τοῦ θεοῦ καὶ πατρὸς, δεύτε- *Nazian-*
ρον δὲ ἐκ τῆς μητρὸς, ἀλλ' οὐχὶ ἕνα καὶ τὸν αὐτὸν καὶ τῆς υἱοθεσίας ἐκπέσοι τῆς *zenꝰ orat.*
ἐπηγγελμένης τοῖς ὀρθῶς πιστεύουσι. Φύσεις μὲν γὰρ δύο θεὸς καὶ ἄνθρω- *31. & Epi-*
πος. Ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα. υἱοὶ δὲ οὐ δύο, οὐδὲ θεοί. οὐδὲ γὰρ ἐνταῦθα δύο *stola 1. ad*
ἄνθρωποι, εἰ καὶ οὕτως ὁ Παῦλος τὸ ἐντὸς τοῦ ἀνθρώπου, καὶ τὸ ἐκτὸς προση- *Cledoni-*
γόρευσε. Τοῦτο θαυμαστὸν μυστήριον καὶ τοῦτο τεκμήριον τῆς ἀγάπης θεοῦ βέ- *um fol. 739.*
βαιον καὶ διαμένον ἐστὶ. ἐν τούτῳ οἱ ἄνθρωποι τῶν ἀγγέλων διαφέρουσι.

Τῶν

τῶν ἀγγέλων φύσιν ὁ χριστὸς οὐ προσέλαβε (ἐκ τῷ εἶναι καὶ τῷ ὄντι ὄντων) ἀλλ' ἡμετέραν φύσιν (ἐκ τῇ ψυχῇ λογικῇ καὶ σώματι ἀνθρωπίνῳ οὖσαν) προσέλαβε. Ὁ λόγος γὰρ σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Τοσαύτη ἐστὶ Θεοῦ ἡ ἀγάπη. ταύτην ἀεὶ θεωρῆσαι, ταύτην ἐγκωμιάζειν, καὶ ταύτην θαυμάζειν ἡμῖν προσήκει.

*Isocrates adDemon.*

Ὁρῶμεν τοὺς ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν, ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, ἀλλ' ὀλίγους μικρὰν ὁδὸν πορεύεσθαι, πρὸς τοὺς τὴν ἀγάπησιν τοῦ Θεοῦ διδάσκειν ἐπαγγελλομένους. Πρέπει οὖν μᾶλλον ταύτην ζηλοῦν, ἢ τὸν πλοῦτον; μᾶλλον σωτηρίαν τῆς ψυχῆς, ἢ τοῦ σώματος; καὶ τέλος ἐὰν ἡμῖν ποτὲ συμβῇ κινδυνεύειν, ἵνα μετὰ καλῆς καὶ αἰωνίου δόξης θριαμβεύειν. Ἀλλ' ἐπιμελητέον, ταύτην τὴν πρόσληψιν τοῦ υἱοῦ Θεοῦ ἀνθρωπίνης φύσεως ὀρθῶς γινώσκειν. ταύτην δὲ Ἰωάννης ὁ Δαμασκηνὸς, οὕτως λέγων, διδάσκει: Γέγονεν ἐν τελείας θεότητος καὶ τελείας ἀνθρωπότητος, εἷς χριστὸς, εἷς υἱὸς, ὁ αὐτὸς θεοῦ τε ἀνθρώπου, εἷς κύριος, καὶ αὐτὸς θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος. Ὅλος θεὸς καὶ ὅλος ἄνθρωπος, ἀσυγχύτως ἑνωθεισῶν τῶν φύσεων ἀλλήλαις καὶ ἀτρέπτως, ἀδιαιρέτως. Ἀσυγχύτως μὲν φυλάττει γὰρ ἑκάστη φύσις τῆς ἑαυτῆς διαφορὰν, τὸ ἄκτιστον, τὸ κτιστὸν ἡ ἀνθρωπότης. Τὸ ἀπαθὲς ἡ θεότης, τὸ παθητὸν ἡ ἀνθρωπότης, καὶ τὰ τοιαῦτα. Ἀτρέπτως δὲ ὅτι μεμένηκεν ἑκάστη φύσις ἀναλλοιώτως. οὐ τραπεῖσα εἰς τὴν ἑτέραν, οὐδὲ μία σύνθετος χρηματίσασα φύσις, ἀλλὰ δύο ὑπάρχουσαι διαιωνίζουσαι. Ἀδιαιρέτως δὲ ὅτι ἥνωνται ἀλλήλαις καθ' ὑπόστασιν, μίαν ἔχουσαι ὑπόστασιν, τὴν προαιώνιον μὲν, ἀσώματον καὶ ἁπλῆν ἐπ' ἐσχάτων δὲ τῶν χρόνων ἐκ τῆς ἁγίας ἀεὶ παρθένου σωματωθεῖσαν ἀμεταβλήτως. ταῦτα ἐκεῖνος διδάσκει.

*In Oratione contra Acephalos fol. 573.*

Οὕτως ὁ πατὴρ ὁ θεὸς ἐκ τοῦ οὐρανίου θρόνου δι' ἀγάπην καυστειροτάτην καὶ ἀληθῶς πατρῷον ἐν τῷ υἱῷ πρὸς ἡμᾶς ἐπισκοπεῖ. οὕτως ὁ υἱὸς μονογενὴς θεὸς παρὰ θεοῦ, ὁ ἀδελφὸς, δι' ἑαυτοῦ ἐνανθρώπησιν γενόμενος διὰ τὸ ἀγάπημα περικαέστατον καὶ ἀληθῶς ἀδελφικὸν εἰς ἡμᾶς ταλαιπώρους ἐπιβλέπει: Ἀλλὰ μὴ τὴν ὁδὸν πρὸς θεὸν, ἡμᾶς ἀγαπῶντα, ἐπιστάμεθα διὰ τοῦτο ὁ χριστὸς, ἡμῖν

προη-

προηγούμενος, τῇ ἑαυτοῦ πληροφορίᾳ καὶ μεσιτείᾳ τοῦ ἀγωγοῦ καὶ παράκλητον ἅγιον τὸ πνεῦμα παρεσκεύασε, ἐν ᾧ κράζομεν, ἀββᾶ ὁ πατήρ, ὅπερ ἅπαντας ἐν πάσῃ ἀληθείᾳ τοῦ χριστοῦ καὶ πρὸς χριστὸν καὶ πατέρα οὐράνιον χειραγωγεῖ. Τοῦτο διὰ τοῦ λόγου καὶ λειτουργίαν ὥσπερ τὰ ὄργανα θνητοὺς εἰς τὸν βίον αἰώνιον εἰσάγει. Τοῦτο ἁπάσης παρακλήσεως τὸ φῶς ὄν, τὴν ἀγάπησιν θεοῦ ἐν ἡμῖν ἐμπυρίζει, καὶ αὐτὴν φωτίζει καὶ συναύξει. οὗτος ὁ παράκλητος ἐν καρδίᾳ διὰ τοῦ λόγου τὸ θάρσος ἀνακαίει. ὃ μὴ μόνον πρὸς θεῷ ἀλλὰ καὶ πρὸς ἀνθρώποις ἐπιφανὲς ὂν τυγχάνει. ἔνθεν οὖν ἡ ἀγάπησις θεοῦ βαθεῖα καὶ ὑψηλή, ὅταν ὅλη σεβασμία ἁγία ὑπάρχῃ τριάς, καὶ εἰς ἅπαντας ἀνθρώπους ἀγαπᾷ. Ὁ πατὴρ οὐράνιος δίδωσι τὸν υἱόν, λάμβανε, ὦ ἄνθρωπε δῶρον ἀμύθητον. Ὁ υἱὸς θεοῦ καταβέβηκε ἀπὸ τοῦ οὐρανοῦ, μέλλων σὲ παρὰ τῷ πατρὶ εὐδόκιμον παρέχειν, τοῦτον τὸν ξένον εἰκότως δεῖ ἐκδέχεσθαι. Τὸ ἅγιον πνεῦμα ἐπὶ τῆς γῆς τῷ ἑαυτοῦ λόγῳ ἐκκλησίαν ἐκκαλεῖ, ἁγιάζει, καὶ τοὺς τὰ πρὸς θεὸν εὐσεβοῦντας συλλέγει, οἱ ἄνευ δείματος τοῦ λόγου καὶ ἀγάπησιν θεοῦ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος ὁμολογούμενοι, τοῦ βίου παρόντος καὶ τῆς δόξης καὶ τῶν κοσμίων ἁπάντων ὀλιγωροῦσι, τὴν ὀργὴν τῶν τυράννων μὴ ἐκφοβοῦντες, πρὸς ἅπαντας ἡδέως ἔχουσι.

Ἐν παντὶ γὰρ χρόνῳ τὴν ἐκκλησίαν ἀληθῆ καὶ σχολὴν διδασκόντων, καὶ ὁμολογουμένων ταύτην ἀγάπην ἔχειν. ἐπεὶ πρῶτον αὐτὸς ὁ θεὸς τοὺς πρωτοπλάστους γονεῖς ἐδίδαξε ἐν τῷ παραδείσῳ. Ἔπειτα τοῦ Νόαν &c. μετὰ τὸν κατακλυσμὸν δὲ τὴν ἀγάπησιν ταύτην καταφρονουμένην ὁ θεὸς σὺν τῷ Ἀβραάμῳ καὶ τοῖς ἄλλοις Πατριάρχαις ἀνέπλησε. Ἀλλ' ἐκείνων τὸ ὕστερον γένος εἰς ἀλλότριον ἀγάπησιν λίαν ἐκπίπτον, τοῖς νόμοις θεοῦ ὑψίστου οὐκ ἐνέμεινε, διὰ τοῦτο ὁ κλίσωρ ταῖς τιμωρίαις τῶν σκολιῶν τοὺς ἀπογόνους ἐκόλασε.

Καὶ ὁ υἱὸς θεοῦ ἐν ἐνανθρωπήσει ὁ χριστὸς, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, τοὺς Ἀποστόλους καὶ ὄχλον ἐπαίδευσε καὶ τὸ ἅγιον πνεῦμα ἐν εἴδει ὁρατῷ τοὺς μαθητὰς ἐμαθήτευσε, τὰ δῶρα διανέμον. οὐαὶ οὖν ἐκείνοις, οἵτινες ἐν τῷ βίῳ τὴν σχολὴν καὶ σπουδὴν βέβαιον, εἰς τὴν τῶν λόγων τοῦ θεοῦ καὶ τοῦ χριστοῦ καὶ ἁγίου πνεύματος καὶ τῶν Ἀποστόλων φιληκοΐαν



μὴ κατα-

μὴ καταναλίσκουσι; Ἀμαθεῖς γὰρ τοῦ ἀγαπήματος γινόμενοι, διὰ τοῦτο μεγάλην αὐτῷ τιμωρίαν δώσουσιν. Ἐκείνους δὲ ὁ θεὸς ἀθανάτους ποιήσει. Διό, ὦ ὅσιοι ἄνδρες, οἱ μαθητεύοντες ἡμᾶς τοὺς μαθητὰς περὶ θεογνωσίας, περὶ τῆς δίκης, περὶ τῆς ἰατρείας καὶ τέλος περὶ τῆς φιλοσοφίας! ὁ χριστὸς θεὸς ἐστὶ διδάσκαλος, ἔνθεν ὑμετέρα ἀξιοπιστία, ἡ βοήθεια, ἀσφάλεια, καὶ τὸ ἀντίδωρον τῶν πόνων, καὶ δυσχερείας ἀκμάζει. εἰ δέ τοὺς τῶν περὶ τὴν θεοσοφίαν ταύτην καὶ ἀγάπησιν διατρίβοντας καὶ ἅμα τοὺς ταύτης ἀμελοῦντας καταριθμησαίμην, κἂν ὁ πᾶς χρόνος ἡμᾶς ἐπιλίποι, ἀλλὰ τοῦτο τοῖς πεπαιδευμένοις ἐπιτρέποντες, ἑνὸς μόνον ἐκ πάντων ἀναμνησθῶμεν, ὡς ἔοικε τοῦ Λουθήρου αἰδεσίμου πατρὸς καὶ ἁγίου ἀνδρός, εἰκότως γὰρ οὕτως αὐτὸν ὀνομάζω. ἐπείδηπερ ὁ Δάνιελ προφήτης πρὸ τῆς γενέσεως ἀνθρωπίνου χριστοῦ περὶ τοῦ πατρὸς αἰδεσίμου ἡμετέρου προεφήτευσε, ὅς θεὸν τοῦ κόσμου διάβολον, καὶ τὸν Ἀντίχριστον τὸ αὐτοῦ ἔργον τῇ φωνῇ καὶ εὐαγγελίου λόγῳ θεϊκῷ ἐδάμασε. πιστεύομεν τὸν θεὸν ἡμῶν τὴν ἐκκλησίαν ἀληθῆ δυστυχοῦσαν μέλλειν διαφυλάττειν, ὥσπερ μέχρι νῦν ἐποίησε. οὕτως καὶ τὸ βάθος τοῦ ἀγαπήματος ἐπεχειρήσαμεν.

## ΤΟ ΣΥΝΧΑΡΜΑ ΤΗΣ ΑΛΤΟΡ-φήνης εὐδαιμονίας.

Ὅταν περὶ τῆς ἡμετέρας γενεᾶς ἐπισκεπτόμεθα, ὁμολογητέον ἡμῖν, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐν μέσῃ τῇ ὀργῇ./ κἂν ὁ Ἄρης θορυβεῖ./ φέγγεται καὶ πνέει. Ὁ ΦΕΡΔΙΝΑΝΔΟΣ γὰρ Δεύτερος Καῖσαρ, πράοτατος ἡμῶν, τὸ γυμνάσιον Νομάρχου τινὸς τίτλῳ Ἀκαδημίας συμπάσης ἐφώτισε, ἢ ἄλλο τί γυμνάσιον τῆς πόλεως τινός. Ἀλλὰ διά τι ἐκείνων τὴν εὐδαιμονίαν καταριθμοῦμαι, ὅταν μᾶλλον ἡμετέρας Ἀκαδημίας τῇ εὐτυχίᾳ προσήκει πλησιάζειν. οἶδα μὲν οὖν, ὅτι χαλεπὸν ἐστὶ, τὴν ἀγάπην θεοῦ σύμπασαν διὰ τῶν λόγων καὶ μάλιστα τὴν εἰς ἡμετέραν Ἀκαδημίαν καὶ αὐτοῦ εὐπραξίαν, εὐδαιμονίαν, παντοκράτορος θεοῦ ταύτην διδόντος, καὶ τὸ εὐτυχεῖν τῆς ἀριστοκρατίας ἐγκωμιάζειν. Τοῦτο δὲ πεδαιδευμένοις καὶ ἐνδοξοτάτοις δεῖ ἐγχειρίζειν, ἐγὼ δὲ διὰ τὴν λεπτομερείαν τῆς φύσεως μόνον ὀλίγα λέγειν τολμήσω. Τῷ οὖν θεῷ, τῷ κτιστῇ ἡμῶν, τῷ πατρὶ οὐρανίῳ, τῇ ἁγίᾳ σεβασμίᾳ

τριάδι

τριάδι εἰκότως πρῶτον, ἡμᾶς ἀγαπήσαντι, περὶ τῆς εὐτυχίας ἁπαξαπάσης μὴ μόνον τοῦ σώματος ἀλλὰ καὶ τῆς ψυχῆς ἡμετέρας ἀκμὴν εἰς τὰ πρῶτα τῆς Ακαδημίας ἐπιμελησαμένῳ, εὐχαριστοῦμεν.

Παντοκράτωρ γὰρ ὁ ΦΕΡΔΙΝΑΝΔΟΣ ὁ δεύτερος, περὶ γενεᾶς τῆς Αυστρίας εὐκλεεστάτης, εὐδαιμονεστάτης, βεβαιοτάτης &c. ὁ νικητὴς καὶ ὁ θριαμβευτὴς κράτιστος, ὁ κύριος, κύριος ἡμῶν πρᾳότατος ταύτην τὴν Ακαδημίαν ἡμετέραν Αλτορφήνην ἐν παρόντι ἔτει ὅμαδα, (ὡς εἰπεῖν οὕτως) ἐποίησε, αὐτῆς ἱερατικὰς ἐν τῇ ἑορτῇ ἁγίων τοῦ Πέτρου καὶ τοῦ Παύλου μετὰ μεγάλης ἐπιφανείας ἐπιφημίζουσι. ὦ τῆς πρᾳότητος τοῦ παντοκράτορος! ὦ τῆς εὐεργεσίας! ὦ τῆς ἀγάπης εἰς τοὺς περὶ φιλοσοφίαν ὄντας! τίς ἂν τηλικαύτην ἀγαθοποιΐαν ἀξίως ἄλις καταλογεῖν καὶ μηκείνειν δύναιτο? ἡμέτερος ὁ μόναρχος καὶ ἐμὸς ἔσται καὶ ἀληθῶς ἡμετέρα κεφαλή, ὅτι τὰ μέλη ἑαυτοῦ ἐπιφανῆ εἶναι καὶ αὐτὰ δοξάζειν ἐπιθυμεῖ. Βιότευε, ὁ παντοκράτωρ, μακρὸν τὸν βίον εὐδαιμονεστάτως, μονάρχει πρᾳοτάτως καὶ θριάμβευε εἰς θεοῦ δόξαν. Κἂν ἀεὶ σεβαστὴ γενεὰ ἡ Αυστρία ἀκμάζει καὶ ἐν εὐδαιμονίᾳ ἄγοι. Διὸ ἐν παρόντι καιρῷ εἰκότως κατὰ δύνατον εὐγνώμως τῇ μεγαλειότητί σου εὐχαριστοῦμεν, καὶ εἰσέτι λοιπὸν ὑπὲρ ταύτης εὐεργεσίας εὐχαριστοῦμεν. σοὶ ἔστω χάρις, καὶ δόξα, καὶ τιμή, ἀθάνατος καὶ ἔχατος ὑπὲρ αἰωτάτης προνομίας ἔπαινος.

Τινά δε πόλιν τῶν εὐτυχιῶν τούτων χρὴ ὀρέχεσθαι? τὴν ΝΟΡΙΒΕΡΓΑΝ, ἐν ὅλῳ τῆς Γερμανίας κόσμῳ ἐκκλεεστάτην καὶ ἐν τῇ πολιτείᾳ εὐδαιμονεστάτην. ἡ πολιτεία αὐθεῖται, που γῆς τὰ τῶν λόγων ἐπιτηδεύματα αὐθοῦνται. ἡ πολιτεία αὐθεῖται, οὗ γῆς οἱ κυβερνῆται αὐτῆς περὶ τὴν φιλοσοφίαν τὸν βίον διοικοῦσι, τοὺς πεπαιδευμένους καὶ ἀξίους φιλοῦντες. ἐνθένδε πατρικὴ φιλοστοργία τῶν πατέρων τῆς πατρίδος, καὶ ἡ ἐπιμέλεια τῆς περὶ τὸ θεῖον τιμῆς καὶ φυλακὴ τῆς πολιτείας καὶ ἁμαρτῇ ἡ εἰς τοὺς ἐπιταττομένους σωτηρία φέγγεται, πνέει καὶ πνεύσει.

Διὸ εἰκότως μὴ μόνον ὑμῖν τοῖς πατράσι τῆς πατρίδος, τῆς εὐπραξίας ὑμετέρας συνηδόμεθα, ἅπαντες τοῖς ὑμῶν ἀγαθοῖς συγχαίροντες, ἀλλὰ καὶ ὑπὲρ ταύτης πατρικῆς ἀγάπης καὶ τῆς ἐπιμελείας ὑμετέρας καὶ τοῦ πόνου ὑπὲρ σωτηρίας ἡμῶν εὐγνώμως καθ' ὅσον δύ-

νατον ἡμῖν εὐχαριστῶμεν ὥσπερ τὰς χαρίτας οὐκ ἀχαρίστως χαριζόμενοι καὶ αὖθις εὐχαριστοῖμεν. Αλλ' ἡ τῆς ἀληθοθεογνωσίας καὶ τῆς πολιτείας, ἄλλως τε ὀρθοδοξίας φυλακὴ μηδέποτε τοῖς ὅπλοις διαφυλάττεται, ἀλλ' εὐχαῖς συνεχέσι καὶ ἀδιαλείπτοις. Τῷ οὖν θεῷ προσκυνήσωμεν, ἵνα κατὰ τὸ σπλάγχνον αὐτοῦ τὴν ἡμετέραν εὐσέβειαν ἀληθῆ, καὶ τὴν πολιτείαν ἀρίστην, καὶ τὰ ἐπιτηδεύματα παιδειῶν καὶ ἐλευθερίων τέχνων εἰς τοὺς αἰῶνας διασώζῃ καὶ ἡ Ακαδημία σύμπασα, καὶ τῶν ΝΟΡΙΚΩΝ ἡ πολιτεία ἀεὶ εὐδαιμόνως πράττῃ, καὶ ὁ θεὸς, τὸ ἔργον τοῦτο ἀρξάμενος τελεῖν, διὰ τὴν ἡμετέραν Ακαδημίαν, καὶ τὰς ἄλλας τῆς Γερμανίας τὸ μῆκος τῆς ἀγαπήσεως αὐτοῦ τοὺς πολλοὺς ἀνθρώπους τῆς ὁδῆς τῆς ἀληθείας ἁμαρτάνοντας φωτίζῃ. Τὸ τελευταῖον δέ περὶ τῆς ἀγάπης τοῦ θεοῦ τὸ ὕψος ἐν ὑψίστῳ λυκείῳ ποτὲ, τοῖς λόγοις αὐτοῦ καὶ πίστει εἰς τὸν χριστὸν ἐμμένοντες μανθάνειν μέλλομεν. ΕΛΕΞΑ.

---

## *Ad præstantiß. Dn. Johannem Sutorium, amicum & sympatriotam meum candidum & carum.*

Αργαλέοιο τεοῦ περικάλλεα πρήγματα μόχθου,
Καὶ τῆς παντοίαις ἀρετῇσι κεκασμένον ἦτορ,
Ευσεβείαντε ἴδεν μεγάλην ἡ πάλλας Αθήνη
Ἠδὲ παλαικώμη χαρίεσσα, καὶ ὡς φάτο. οὗτος
Αξιος ἀτρεκέως ποτε ἀγλαὰ δῶρα φέρεσθαι.
Αἰὲν ἀριστεύει, κ' εὐπράσσει πάντα, μενοινεῖ,
Εἰς θεὸν οἰστρηθεὶς, τῷ κῆρι τοῦ ὑψιμέδοντος
Αΐδιον ἀγάπην, καὶ ἀσφαλέως ἀγορεύσει
Ελλάδος ἐν γλώσσῃ, στέφανον γοῦν τήνδε ἱάραν,
Δακτυλίοντε φέρειν φοίβου δωρήματα, ἔξει.
Συγχαίρω καὶ ἐγὼ πάντων δωτῆρ' ἱκετεύων
Ως σοι, ἸΩΑΝΝΗ, ὁμοχώριε φίλτατε, κῦδος
Ευτυχέη τίσσον, καὶ χρήσιμα πάντα ὀπάσσῃ.

εὐφημίας ἕνεκα f.

M. JACOB. BRUNO, Inspector.